Αποστολική Διακονία
της Εκκλησίας της Ελλάδος

ΤΟΜΕΑΣ ΚΑΤΗΧΗΣΕΩΣ ΚΑΙ ΟΡΘΟΔΟΞΟΥ ΜΑΡΤΥΡΙΑΣ

# ΤΑ ΛΕΙΤΟΥΡΓΙΚΑ ΒΙΒΛΙΑ ΚΑΙ Η ΧΡΗΣΗ ΤΟΥΣ ΣΤΗ ΘΕΙΑ ΛΑΤΡΕΙΑ

**Βασίλειος Μαλισιόβας**

κλασικός φιλόλογος – θεολόγος – επιμελητής κειμένων

Γραφείο Εκδόσεων Αποστολικής Διακονίας



«Φωνή μου
προς Κύριον
εκέκραξα,
φωνή μου
προς Κύριον
εδεήθην».

**Ψαλμός 141 (ΡΜΑ)**

# Ιερά Μονή Ασωμάτων Πετράκη

- Ιδρύθηκε τον $9^{ο}$ -$10^{ο}$ αι. (1673 οριστική μορφή)
- Συνοδικό Μέγαρο: Κεντρικό κτίριο διοίκησης Εκκλησίας Ελλάδος
- Δωρεά παρακείμενων εκτάσεων για ανέγερση νοσοκομείων

# Διοίκηση Αποστολικής Διακονίας

- ΚΕΝΤΡΙΚΗ ΔΙΟΙΚΗΣΗ (Κεντρικό Διοικητικό Συμβούλιο)
- ΓΕΝΙΚΗ ΔΙΕΥΘΥΝΣΗ
- ΤΟΜΕΑΣ ΔΙΟΙΚΗΣΕΩΣ ΚΑΙ ΟΙΚΟΝΟΜΙΚΩΝ
- ΤΟΜΕΑΣ ΚΑΤΗΧΗΣΕΩΣ ΚΑΙ ΟΡΘΟΔΟΞΟΥ ΜΑΡΤΥΡΙΑΣ
- ΤΟΜΕΑΣ ΙΕΡΑΠΟΣΤΟΛΗΣ
- ΤΟΜΕΑΣ ΕΚΔΟΣΕΩΝ
- ΤΟΜΕΑΣ ΟΠΤΙΚΟ-ΑΚΟΥΣΤΙΚΩΝ ΠΡΟΒΟΛΗΣ ΚΑΙ ΔΙΑΘΕΣΕΩΣ ΒΙΒΛΙΩΝ
- ΤΟΜΕΑΣ ΕΥΡΩΠΑΪΚΩΝ ΚΑΙ ΠΟΛΙΤΙΣΤΙΚΩΝ ΠΡΟΓΡΑΜΜΑΤΩΝ
- ΙΕΡΟ ΠΡΟΣΚΥΝΗΜΑ ΑΓΙΑΣ ΒΑΡΒΑΡΑΣ
- ΘΕΟΛΟΓΙΚΟ ΦΟΙΤΗΤΙΚΟ ΟΙΚΟΤΡΟΦΕΙΟ
- ΤΥΠΟΓΡΑΦΕΙΟ
- ΒΙΒΛΙΟΠΩΛΕΙΑ (4)

# Γραφείο Κατηχήσεως και Νεότητος

- Φροντιστήριο Υποψηφίων Κατηχητών
- Φροντιστήριο Επιμορφώσεως Κατηχητών
- Σχολή εκμαθήσεως Ελληνικής Νοηματικής Γλώσσας
- Ποιμαντικές επισκέψεις σε ναούς, κατηχητικά κ.λπ.

# Αποστολή του Γραφείου Εκδόσεων

- Κριτική ανάγνωση και γνωμοδότηση για προτεινόμενες εκδόσεις
- Διόρθωση και επιμέλεια βιβλίων
- Ανατυπώσεις – Βελτιωμένες εκδόσεις
- Εργασίες τρίτων
- «Φωνή Κυρίου»
- Έκδοση ξενόγλωσσων λειτουργικών βιβλίων για την ιεραποστολή
- Επιμέλεια – έκδοση περιοδικών, ημερολογίων κ.λπ.

# Κατηγορίες εκδόσεων της Α.Δ.

- Αγία Γραφή
- Λειτουργικά βιβλία
- Θεία Λατρεία
- Πατερικά κείμενα
- Ομιλητική
- Θεομητορικά
- Αγιολογία
- Εκκλησιαστική Ιστορία
- Εκκλησιαστική Τέχνη
- Εξωτερική Ιεραποστολή
- Θρησκειολογία
- Ποιμαντικά
- Αντιαιρετικά
- Παιδικά



Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν,
Κύριον ἐκ πηγῶν Ἰσραήλ

# Λειτουργικά βιβλία της Εκκλησίας

- **Λειτουργικά βιβλία** εἶναι τά ἐπίσημα καί ἀπό αἰώνων καθιερωμένα βιβλία τῆς ἐκκλησίας, προορισμένα γιά λατρευτική χρήση, ὅπως:
- *Μηναῖα*
- *Παρακλητική*
- *Ωρολόγιον*
- *Ευαγγέλιον*
- *Ψαλτήριον*
- *Εὐχολόγιον* (μικρό για ιερείς, μεγάλο για χειροτονίες κ.λπ.)

# Τα βασικά λειτουργικά βιβλία

- Ωρολόγιο το Μέγα
- Ψαλτήριο (150 Ψ.)
- Ιερατικό
- Αρχιερατικό
- Μέγα Ευχολόγιο
- Ευαγγέλιο
- Απόστολος
- Δίπτυχα 2018
- Μηναία (12 μηνών)
- Παρακλητική ή Οκτώηχος
- Τριώδιο
- Πεντηκοστάριο
- Σύστημα Τυπικού
- Θεοτοκάριο (Αγίου Νικοδήμου)
- Εγκόλπιο του Αναγνώστου
- Ακολουθίες Αγίων (φυλλάδες)

# Βοηθητικά λειτουργικά βιβλία

- Διάφορα Προσευχητάρια
- Συνέκδημοι
- Συνόψεις
- Λειτουργίες
- Τά 12 Εὐαγγέλια (Μεγ. Πέμπτη)
- ᾿Επιτάφιος Θρῆνος
- ἡ Μεγάλη ῾Εβδομάς
- ὁ ᾿Ακάθιστος ῞Υμνος
- οἱ Παρακλητικοὶ κανόνες
- ποικίλες ἄλλες συλλογὲς ἀκολουθιῶν καὶ προσευχῶν, καὶ λοιπά.



ΑΙΝΕΙΤΕ τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον,
οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

# ΕΥ'ΑΓΓΕ'ΛΙΟΝ
## ΚΑ'ΤΑ'
## ΛΟΥΚΑ͂Ν.

### ΚΕΦΑ'ΛΑΙΟΝ, α΄. I.

1 Ἐπειδήπερ πολλοὶ ἐπεχείρη-
σαν ἀνατάξασθαι διήγησιν
περὶ τῶν πεπληροφορημέ-
νων ἐν ἡμῖν πραγμάτων,
2 Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς
αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λό-
γου,
3 Ἔδοξε κἀμοί, παρηκολουθηκότι ἄνω-
θεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι,
κράτιστε Θεόφιλε·
4 Ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης
λόγων τὴν ἀσφάλειαν.

5 Ἐγέ-



ὁ ἍΓΙΟΣ ΑΠΟΣΤΟΛΟΣ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΗΣ ΛΟΥΚΑΣ.

# ΘΕΙΟΝ ΚΑΙ ΙΕΡΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

ΚΑΤΑ ΤΟ ΚΕΙΜΕΝΟΝ ΤΟ ΕΓΚΕΚΡΙΜΕΝΟΝ
ΥΠΟ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΟΣΙΣ
ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ





## ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ

### ΑΡΧΟΜΕΝΟΝ
### ΑΠΟ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ

#### ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ

Εἰς τὴν Λειτουργίαν

Ἐκ τοῦ κατὰ Ἰωάννην. α΄

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος Κεφ.
ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ α΄ 1-17
Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι᾽ αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός· πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγε λέγων· Οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλλουσι· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοί, Παρθένε Ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

□

## ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ

Ἀπὸ 21ης Νοεμβρίου μέχρι 25ης Δεκεμβρίου.

---

Τῇ 25ῃ Δεκεμβρίου καὶ τῇ ἀποδόσει τῆς ἑορτῆς (31 Δεκ.) συμψάλλονται αἱ ἑπόμεναι Καταβασίαι. Ἀπὸ τῆς 26ης μέχρι τῆς 30ῆς Δεκεμβρίου ψάλλονται μόνον αἱ Ἰαμβικαί.

Ὠδὴ α΄. Ἦχος α΄.

Χριστὸς γεννᾶται· δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν· ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς· ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί· ὅτι δεδόξασται.



† Τῆς Χριστοῦ Γεννήσεως [Ἰαμβικαί].

Ἦχος ὁ αὐτός.

*Ἔσωσε λαόν, θαυματουργῶν Δεσπότης,*
*Ὑγρὸν θαλάσσης, κῦμα χερσώσας πάλαι.*
*Ἑκὼν δὲ τεχθεὶς ἐκ Κόρης, τρίβον βατὴν*
*Πόλου τίθησιν ἡμῖν· ὃν κατ᾽ οὐσίαν*
*Ἶσον τε Πατρί, καὶ βροτοῖς δοξάζομεν.*

Ὠδὴ γ΄.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ᾽ ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

† Τῆς Χριστοῦ Γεννήσεως.

*Νεῦσον πρὸς ὕμνους οἰκετῶν Εὐεργέτα*
*Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν·*
*Φέρων τε παντεπόπτα τῆς ἁμαρτίας*
*Ὕπερθεν ἀκλόνητον ἐστηριγμένους,*
*Μάκαρ μελῳδούς, τῇ βάσει τῆς πίστεως.*

Ὠδὴ δ΄.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄυλος καὶ Θεός. Δόξα τῇ δυνάμει σου. Κύριε.



† Τῆς Χριστοῦ Γεννήσεως.

*Γένους βροτείου τὴν ἀνάπλασιν πάλαι*
*Ἄδων Προφήτης Ἀββακοὺμ προμηνύει,*
*Ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον·*
*Νέον βρέφος γάρ, ἐξ ὄρους τῆς Παρθένου*
*Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν Λόγος.*

Ὠδὴ ε΄.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε, Φιλάνθρωπε.

† Τῆς Χριστοῦ Γεννήσεως.

*Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένης πλάνης*
*Ἱλασμὸν ἡμῖν Χριστὲ τοῖς ἐγρηγόρως*
*Νῦν σοι τελοῦσιν ὕμνον ὡς Εὐεργέτῃ*
*Ἔλθοις πορίζων, εὐχερῆ τε τὴν τρίβον·*
*Καθ᾽ ἣν ἀνατρέχοντες, εὕροιμεν κλέος.*

Ὠδὴ ς΄.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γάρ, οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν, κατέσχεν ἀπήμαντον.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ

## ΒΑΠΤΙΣΜΑΤΟΣ.

Εἰσέρχεται ὁ Ἱερεὺς, καὶ ἀλλάσσει λευκὴν ἱερατικὴν στολὴν, καὶ ἐπιμανίκια· καὶ ἁπτομένων πάντων τῶν κηρῶν, λαβὼν Θυμιατὸν, ἀπέρχεται ἐν τῇ Κολυμβήθρᾳ, καὶ θυμιᾷ κύκλῳ· καὶ ἀποδοὺς τὸν Θυμιατὸν, προσκυνεῖ.

Εἶτα λέγει ὁ Διάκονος· Εὐλόγησον Δέσποτα.

Ὁ δὲ Ἱερεὺς ἐκφώνως·

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως, καὶ εὐσεβείας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Digitized by Google



Ὑπὲρ τοῦ ἀναδειχθῆναι τὸ ὕδωρ τοῦτο, ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἄξιον γενέσθαι τῆς ἀφθάρτου Βασιλείας τὸν ἐν αὐτῷ βαπτιζόμενον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ νῦν προσερχομένου τῷ ἁγίῳ Φωτίσματι, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸν υἱὸν φωτὸς, καὶ κληρονόμον τῶν αἰωνίων ἀγαθῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν σύμφυτον, καὶ κοινωνὸν τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτῷ τὴν στολὴν τοῦ Βαπτίσματος, καὶ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, ἄσπιλον καὶ ἀμώμητον ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ τὸ ὕδωρ τοῦτο, λουτρὸν παλιγγενεσίας, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ἔνδυμα ἀφθαρσίας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν τε καὶ ἡμᾶς, ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου.

Καὶ τοῦ Διακόνου λέγοντος ταῦτα, ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην μυστικῶς.

Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεὸς, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, καὶ τὰ κρύφια τῶν ἀνθρώπων ἐπιστάμενος μόνος· οὐ γάρ ἐστι πρᾶγμα ἀφανὲς ἐνώπιόν σου, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σου· ὁ γινώσκων τὰ κατ' ἐμὲ, μὴ βδελύξῃ με, μηδὲ τὸ πρόσωπόν σου ἀποστρέψῃς ἀπ' ἐμοῦ, ἀλλὰ πάριδέ μου τὰ παραπτώματα ἐν τῇ ὥρᾳ ταύτῃ, ὁ παρο-

Digitized by Google



ρῶν ἀνθρώπων ἁμαρτήματα εἰς μετάνοιαν, καὶ ἀπόπλυνόν μου τὸν ῥύπον τοῦ σώματος, καὶ τὸν σπῖλον τῆς ψυχῆς, καὶ ὅλον με ἁγίασον ὁλοτελῆ, τῇ δυνάμει σου τῇ ἀοράτῳ, καὶ πνευματικῇ δεξιᾷ· ἵνα μὴ, ἐλευθερίαν ἄλλοις ἐπαγγελλόμενος, καὶ ταύτην παρέχων πίστει τῇ ἠρτημένῃ τῆς σῆς ἀφάτου φιλανθρωπίας, αὐτὸς ὡς δοῦλος ἁμαρτίας ἀδόκιμος γένωμαι. Μὴ, Δέσποτα, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, μὴ ἀποστραφείην τεταπεινωμένος καὶ κατῃσχυμμένος· ἀλλ' ἐξαπόστειλόν μοι δύναμιν ἐξ ὕψους, καὶ ἐνίσχυσόν με πρὸς τὴν διακονίαν τοῦ προκειμένου σου Μυστηρίου, τοῦ μεγάλου καὶ ἐπουρανίου· καὶ μόρφωσόν σου τὸν χριστὸν ἐν τῷ μέλλοντι ἀναγεννᾶσθαι, διὰ τῆς ἐμῆς ἐλεεινότητος· καὶ οἰκοδόμησον αὐτὸν ἐν τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν σου, καὶ μὴ καθέλῃς, ἀλλὰ φύτευσον αὐτὸν φύτευμα ἀληθείας, ἐν τῇ ἁγίᾳ σου Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ μὴ ἐκτίλῃς· ὅπως, προκόπτοντος αὐτοῦ ἐν εὐσεβείᾳ, δοξάζηται καὶ δι' αὐτοῦ τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῖ εἰδέναι, ὅτι οὐκ ἐκφωνεῖ, οὐδὲν ὁ Ἱερεὺς, ἀλλὰ καὶ τὸ, Ἀμὴν, καθ' ἑαυτὸν λέγει. Εἶτα λέγει τὴν Εὐχὴν ταύτην μεγαλοφώνως·

Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου (τρίς). Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, τῷ σῷ κράτει συνέχεις τὴν κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν κόσμον. Σὺ ἐκ τεσσάρων στοιχείων τὴν κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι Δυνάμεις· σὲ ὑμνεῖ ἥλιος· σὲ δοξάζει σελήνη· σοὶ ἐντυγχάνει τὰ ἄστρα· σοὶ ὑπακούει τὸ φῶς· σὲ φρίττουσιν ἄβυσσοι· σοὶ δουλεύουσιν αἱ πηγαί. Σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς

Digitized by Google

# Η ΘΕΙΑ
# ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

### ΕΥΧΗ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ.

Ο Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον, τὴν τροφὴν τȣ̃ παντὸς κόσμȣ, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν, ἐξαποστείλας σωτῆρα, καὶ λυτρωτὴν, καὶ εὐεργέτην, εὐλογȣ̃ντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου Μυστηρίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σȣ, τȣ̃ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος ἐξέρχεται τοῦ Βήματος, καὶ προσκυνήσας τρὶς, λέγει: Εὐλόγησον Δέσποτα.

Ὁ Ἱερεὺς ἐκφώνως:

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τȣ̃ Υἱȣ̃, καὶ τοῦ ἁγίȣ Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός: Ἀμήν.



Ὁ Ἱερεὺς ἐκφώνως:

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα.

Ὁ Ἱερεὺς μυστικῶς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν, καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, Σὺ, καὶ ὁ μονογενής σȣ Υἱὸς, καὶ τὸ Πνεῦμά σȣ τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥςε τὸν μονογενῆ σȣ Υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιςεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδȣ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριςήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών·

Ὁ Ἱερεὺς ἐκφώνως:

Λάβετε, φάγετε, τοῦτό μȣ ἐςὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων·

Ὁ Ἱερεὺς ἐκφώνως:

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου τὸ τῆς καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

# ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ

## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ

## ΤΟΥ ΠΑΣΧΑ

**Περὶ ὥραν Ὄρθρου σημαίνουσι πάντα τὰ σήμαντρα (*). Καὶ ὁ μὲν Ἐκκλησιάρχης διανέμει τοῖς Ἀδελφοῖς τὰ κηρία· ὁ δὲ Ἱερεὺς μετὰ τοῦ Διακόνου λαμπροφοροῦσιν ἅπασαν τὴν ἱερατικὴν αὐτῶν στολήν. Εἶτα, λαβόντων, τοῦ μὲν Ἱερέως τὸ ἱερὸν Εὐαγγέλιον, τοῦ δὲ Διακόνου θυμιατήριον, καὶ λαμπάδων προπορευομένων αὐτῶν, ἀπερχόμεθα πάντες εἰς τὸν Νάρθηκα, κρατοῦντες τὰ κηρία ἡμμένα, καὶ ψάλλοντες τό, Τὴν Ἀνάστασίν σου, Χριστὲ Σωτὴρ, κτλ. Καὶ ἐν μὲν τῷ Ναῷ ἐναπομείνας μόνος ὁ Κανδηλάπτης, ἅπτει τὰ κηρία πάντα, καὶ τὰς κανδήλας· καὶ ποιήσας πυρεῖον, καὶ βαλὼν εἰς αὐτὸ θυμίαμα, τίθησιν ἐν τῷ μέσῳ τοῦ Ναοῦ. Ἐν δὲ τῷ Νάρθηκι, προευτρεπισμένου ὄντος Τετραποδίου ἔμπροσθεν τῶν Βασιλικῶν Πυλῶν, οὐσῶν κεκλεισμένων, ἀποτίθησιν ὁ Ἱερεὺς ἐπ' αὐτοῦ τὸ ἱερὸν Εὐαγγέλιον, καὶ ἀναγινώσκει συνήθως τὸ Β'. Ἑωθινὸν, Διαγενομένου τοῦ Σαββάτου, κτλ. Μετὰ ταῦτα, λαβὼν εἰς χεῖρας τὸ θυμιατήριον, καὶ θυμιῶν, λέγει·**

**Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ ἡμῶν ἀποκρινομένων τό, Ἀμὴν, ἄρχεται ὁ Ἱερεὺς μεγαλοφώνως τὸ παρὸν

Τροπάριον, εἰς Ἦχον πλ. α'.

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.**

Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ Ἱερέως, καὶ τρὶς ὑπὸ τῶν Χορῶν ἄνευ Στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἑπομένους Στίχους ὁ Ἱερεὺς, ἢ ὁ Διάκονος· καθ' ἕκαστον δὲ Στίχον, ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.

Στίχ. α'. **Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.**

Στίχ. β'. **Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.**

Στίχ. γ'. **Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.**

Στίχ. δ'. **Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.**

Δόξα. **Χριστὸς ἀνέστη.** Καὶ νῦν, τὸ αὐτό.

Εἶτα ὁ Ἱερεὺς γεγονωτέρᾳ φωνῇ.

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας.**

Ὁ Χορός. **Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

**Συναπτὴ μεγάλη· μεθ' ἣν ἐκφωνεῖ ὁ Ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα, ...** Καὶ ἀνοιχθεισῶν τῶν πυλῶν, εἰσοδεύει ὅ, τε Ἱερεὺς καὶ ὁ Διάκονος, προπορευομένων πάλιν τῶν λαμπάδων. Ὁ δὲ Προεστὼς, ἐφεπόμενος μετὰ τῶν

(*) Κατὰ τὴν σήμερον ἐπικρατοῦσαν συνήθειαν, καὶ ἐν αὐτοῖς ἔτι τοῖς ἱεροῖς Μοναστηρίοις, τὰ σήμαντρα ταῦτα, καὶ ἐξαιρέτως οἱ κώδωνες (καμπάναι), σημαίνουσι πάντα ὁμοῦ, ὅταν ὁ Ἱερεὺς ἐκφωνήσῃ τὸ Τροπάριον, Χριστὸς ἀνέστη.



Digitized by Google



Ἀδελφῶν, ἄρχεται τοῦ Κανόνος. Ψάλλονται δὲ οἱ μὲν Εἱρμοὶ ἀνὰ δύο, τὰ δὲ Τροπάρια εἰς ιβ'. καὶ αὖθις ἔσχατον Καταβασίαι οἱ αὐτοὶ Εἱρμοὶ ὑπ' ἀμφοτέρων τῶν Χορῶν. Ποιεῖ δὲ τὴν ἔναρξιν τοῦ Κανόνος ἐξάπαντος ὁ Προεστὼς, καὶ αὐτὸ τὸ δεξιὸν τοῦ Χοροῦ μέρος, εἰ καὶ τὸ ἀριστερὸν ἴσως λαγχάνῃ· ἀπὸ γὰρ ταύτης τῆς ἡμέρας γίνεται ἡ ἀρχὴ τοῦ μερισμοῦ τῆς τῶν δύο Χορῶν ἐνάρξεως. Ἐν ἑκάστῃ δὲ Ὠδῇ γίνεται παρὰ τοῦ Ἱερέως, ἔσωθεν τοῦ Βήματος, Συναπτὴ μικρὰ, καὶ μετ' αὐτὴν ἐκφώνησις, ὡς σημειοῦται ἐν τοῖς ἐφεξῆς. Ὁ δὲ Ἱερεὺς θυμιᾷ, εἰς τὴν ἔναρξιν τοῦ Κανόνος, κατὰ τὴν τάξιν.

Ὁ Κανὼν, ποίημα Ἰω. τοῦ Δαμασκηνοῦ.

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

» **Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί.**
» **Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανά-**
» **του πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς οὐρανὸν,**
» **Χριστὸς ὁ Θεὸς ἡμᾶς διεβίβασεν, ἐπινίκιον**
» **ᾄδοντας.**

Τροπάρια.

**Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ, Χαίρετε, φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.**

**Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.**

Καταβασία. **Ἀναστάσεως ἡμέρα.**

Τὸ. **Χριστὸς ἀνέστη,** γ'. Τὸ, **Ἀναστὰς ὁ Ἰησοῦς,** ἅπαξ (ἅπερ λέγονται εἰς ὅλας τὰς Ὠδάς).

Εἶτα, Συναπτὴ μικρά· μεθ' ἣν Ἐκφώνησις· **Ὅτι σὸν τὸ κράτος.**

Ὠδὴ γ'. Ὁ Εἱρμός.

» **Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας**
» **ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρ-**
» **σίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ,**
» **ἐν ᾧ στερεούμεθα.**

Τροπάρια.

**Νῦν πάντα πεπλήρωται φωτὸς, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.**

**Χθὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.**

Καταβασία. **Δεῦτε πόμα πίωμεν.**

Ἐκφώνησις. **Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.**

Ἡ Ὑπακοή. Ἦχος δ'.

**Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.**

Καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

» **Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀβ-**
» **βακοὺμ, στήτω μεθ' ἡμῶν, καὶ δεικνύτω,**
» **φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα·**
» **Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χρι-**
» **στὸς ὡς παντοδύναμος.**

Τροπάρια.

**Ἄρσεν μὲν, ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστός· ὡς βροτὸς δὲ, ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.**

**Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.**

**Ὁ Θεοπάτωρ μὲν Δαυῒδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.**

Καταβασία. **Ἐπὶ τῆς θείας φυλακῆς.**

Ἐκφώνησις. **Ὅτι ἀγαθός.**

Ὠδὴ ε'. Ὁ Εἱρμός.

» **Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύ-**
» **ρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπό-**
« **τῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον,**
» **πᾶσι ζωὴν ἀνατέλλοντα.**

Τροπάρια.

**Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ Ἅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο, Χριστὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.**

**Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.**

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου.

Ἐκφώνησις. **Ὅτι ἡγίασται.**

Digitized by Google

# ΔΑΥΙΔ

ΤΟΥ

## ΠΡΟΦΗΤΟΥ ΚΑΙ ΒΑΣΙΛΕΩΣ

ΜΕΛΟΣ

---

### ΚΑΘΙΣΜΑ ΠΡΩΤΟΝ

#### ΨΑΛΜΟΣ Α'. 1.

*Τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.*

Μακάριος, ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν. Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· ὃ τὸν καρπὸν αὐτοῦ δώσῃ ἐν καιρῷ αὐτοῦ· καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. Οὐχ' οὕτως οἱ ἀσεβεῖς, οὐχ' οὕτως· ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

#### ΨΑΛΜΟΣ Β'. 2.

*Τῷ Δαυίδ, ἀνεπίγραφος.*

Ἱνατί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά ; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ



τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Καὶ νῦν βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Δράξασθε παιδείας μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

#### ΨΑΛΜΟΣ Γ'. 3.

*Τῷ Δαυίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ ἐν τῇ ἐρήμῳ.*

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με ; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου : Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτῷ. Σὺ δὲ Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην. καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

**Δόξα, καὶ νῦν. Ἀλληλούϊα.**



Έλλαμψον εν ταις καρδίαις ημών, φιλάνθρωπε Δέσποτα, το της σης Θεογνωσίας ακήρατον φως και τους της διανοίας ημών διάνοιξον οφθαλμούς εις την των ευαγγελικών σου κυρηγμάτων κατανόησιν. Ένθες ημίν και τον των μακαρίων σου εντολών φόβον, ίνα τας σαρκικάς επιθυμίας πάσας καταπαντήσαντες, πνευματικήν πολιτείαν μετέλθωμεν, πάντα τα προς ευαρέστησιν την σην και φρονούντες και πράττοντες. Συ γαρ ει ο φωτισμός των ψυχών και των σωμάτων ημών, Χριστέ ο Θεός, και σοι την δόξαν αναπέμπομεν, συν τω άναρχω σου Πατρί, και τω παναγίω και αγαθώ, και ζωοποιώ σου Πνεύματι, νυν, και αεί, και εις τους αιώνας των αιώνων. Αμήν.



Σας ευχαριστώ πολύ για την υπομονή σας!